793. Ἄγχι δέ οἱ Βιθυνοὶ μακρὴν χθόνα ναιετάουσι, — Διονυσίου
Ῥήβας ἐνθ' ἐρατεινὸν ἐπιπροΐησι ῥέεθρον — Οἰκουμένης
Ῥήβας, ὃς Πόντοιο παρὰ στομάτεσσιν ὁδεύει· — Περιήγησις
Ῥήβας, οὗ κάλλιστον ἐπὶ χθονὶ σύρεται ὕδωρ. — Τ. Β. σ. 193

Ὅτι μετὰ τοὺς Μαριανδυνοὺς ἡ τῶν Βιθυνῶν μακρὰ γῆ, ὅπου ὁ Ῥήβας ἐρατεινὸν προΐησι ῥέεθρα, ὁδεύων παρὰ τοῖς τοῦ Πόντου στόμασιν, ἤτοι ἐγγὺς τοῦ Ποντικοῦ στόματος. ἄλλως γὰρ ἑνικῶς τὸ στόμα τοῦ Κερβέρου πληθυντικῶς στόματα εἶπεν, ὅπερ ποταμοῦ κάλλιστον, φησίν, ἐπὶ χθονὶ σύρεται ὕδωρ. ὃν καὶ ἐπαναλαμβάνει, ὡς δῆθεν καὶ αὐτὸς ἄξιος ὢν λόγου πολλοῦ. ῥέει δέ φασι καὶ αὐτὸς ἐκ τοῦ Μυσίου Ὀλύμπου, καθὰ καὶ τὸν Σαγγάριον. ὃς δὴ Σαγγάριος καὶ ναυσίπορός ἐστι, καὶ μέγιστος τῶν ἐν Βιθυνίᾳ ποταμῶν, εἰσβάλλων εἰς τὸν Εὔξεινον. τοὺς δὲ Βιθυνοὺς οἱ παλαιότεροι ἱστοροῦσι γενέσθαι [illegible] καὶ τὴν αὐτῶν γῆν σύμφορόν τε καὶ εὔδενδρον εἶναί φασι, καὶ χθονίας ἔχουσαν, καὶ κρύσταλλον ἐν ὄρεσι φύουσαν, καὶ ἄλλα πολλὰ ἔχουσαν ἀγαθά. Ἡρόδοτος δὲ λέγει, Θρᾷκας διαβάντας εἰς Ἀσίαν κληθῆναι Βιθυνούς, καὶ εἶναι παρ' αὐτοῖς χρηστήριον Διός. λέγεται δὲ καί, ὅτι ἡ πρὶν ἀπὸ Βεβρύκων γῆ, ἡ καὶ Ῥέβαντα, Βιθυνοὶ ὕστερον κατέσχον. τὴν δὲ αὐτοῦ ἐπέκεινα ἐπὶ Πόντον ὁριοῦσιν οἱ Θυνοὶ ἔθνος, ἄχρι ποταμοῦ Κάλητος, ὡς εἶναι ὁμόρους τούς τε Θυνοὺς καὶ τοὺς Βιθυνούς, οὕτω καλουμένους ἀπὸ τῶν ἀδελφῶν ἐπωνύμων Θυνοῦ καὶ Βιθυνοῦ, παίδων Φινέως [illegible], ἤτοι [illegible], καθά φησιν Ἀρριανός. [illegible] καὶ γνήσιον παῖδα Φινέως ἱστορεῖ Παφλαγόνα, ἐξ οὗ χώρα Παφλαγονία. [illegible] Ῥαβάντιχ [illegible] ποταμοῦ καὶ δημιουργοῦ [illegible] παρὰ Βιθυνοῖς, Δασκύλιον καλούμενον, οὗ ἔργον ἐν Νικομηδείᾳ [illegible]

ὁδὸς δαιμαστὸν ἄγαγμα Ἐτραλίου Διός. γέγες δὲ ὁ αὐτὸς Ἀρριανὸς ᾖ, ὅτε ἄγιος Ὀβρύσου παῖδα φασὶ τὸν Θυνὸν ᾖ τὸν Βιθυνὸν, ἐν ᾗ χώρᾳ ὁμώνυμος. Ἐπιμείνωσι δὲ, ὅτε τὸ μὲν γῆν Ῥηβαντίαν παρὰ τῷ Ἀρριανῷ, ἀφορμὴν δίδωσι τοῦ φανερῶς νοεῖν, ὅτε περιτοσσεύεσθαι ὁ Ῥήβας μείνεται, ὁμοίως τῷ Βίαντι· τὸ δὲ Ῥηβαῖος, ἐθνικὸν, μείων ὑπεμφαίνει τινὰ ἰσοσύγκαβον, παρὰ τοῖς παγαιοῖς ᾖ αὐτὸ εὑρισκόμενον.

Ὅτε οἱ Χαλκιδεῖς, ὁ ἐστὶν οἱ περὶ τὴν Χαλκιδόνα, ὡς προεῤῥέθη

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ